Η

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΦΙΛΑΡΕΤΟΥ ΤΟΥ ΕΛΕΗΜΟΝΟΣ

---

**ΕΚΔΙΔΕΤΑΙ**

ὑπὸ τῆς ἐν Κεχροβουνίῳ Τήνου Ἱερᾶς Γυναικείας Μονῆς

Η ΚΟΙΜΗΣΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

ἀδείᾳ τῆς Ἱ. Μητροπόλεως

Σύρου, Τήνου, Ἄνδρου, Κέας καὶ Μήλου

εἰς δόξαν Χριστοῦ

καὶ πρὸς ψυχικὴν ὠφέλειαν τῶν Χριστιανῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΙΚΟΛΑΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ ΣΥΡΟΥ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Κ. ΓΕΡΑΣΙΜΙΔΗ

1935

# ΜΗΝΙ ΔΕΚΕΜΒΡΙΩ Α'.

***Τοῦ Ὁσίου Πατρὸς ἡμῶν***

# ΦΙΛΑΡΕΤΟΥ ΤΟΥ ΕΛΕΗΜΟΝΟΣ

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

***Μετὰ τὸν Προοιμιακόν, Στοιχολογοῦμεν τό, Μακάριος ἀνήρ.***

***Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους η'. καὶ ψάλλομεν***

***Τὰ κάτωθι Στιχηρὰ Προσόμοια.***

***Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.***

Τὸν φιλάρετον βίον σου, θεομάκαρ Φιλάρετε, ἀρετῆς ὑπόθεσιν πάντες ἔχομεν· τῶν γὰρ πενήτων προστάτην σε, χηρῶν ἀντιλήπτορα, ὀρφανῶν προασπιστήν, καὶ γυμνῶν περιβόλαιον, προμηθέα τε, ἐγνωκότες τελοῦμεν σου τὴν μνήμην, τὴν φωσφόρον καὶ ἁγίαν, φιλελεῆμον Φιλάρετε.

Ἱεροῖς μελῳδήμασιν, εὐφημήσωμεν σήμερον, ἀρετῆς φιλόπονον τὸν Φιλάρετον, καὶ γὰρ αὐτὸς κατηλέησε, πτωχοὺς ὑστερούμενος, τῶν οἰκείων ἀγαθῶν, καὶ πτωχεύων θλιβόμενος, διὰ Κύριον, ὅθεν τοῦτον ὁ πάντων πλουτοδότης, κατεπλούτησεν ὑστέρως, καὶ βασιλείας ἠξίωσεν.

Θησαυρὸς ἐχρημάτισας, πενομένων, Φιλάρετε, προσφέρων ἐκ κόλπων σου, πλοῦτον ἄσυλον, καὶ διανέμων τοῖς πένησι, πλουσίως ἀφθόνως τε, ὑστερούμενος αὐτός· ἀποβλέπων τὴν μέλλουσαν, ἀνταπόδοσιν· διὸ πάντες τιμῶμεν τὴν σεπτήν σου, ἑορτὴν ἐν ὑμνῳδίαις, καὶ κατὰ χρέος γεραίρομεν.

Τὰ αἰτήματα ἅπαντα, σῆς καρδίας ὁ Κύριος, Φιλάρετε, δέδωκεν, ὡς τηρήσαντα, αὐτοῦ τοὺς νόμους μακάριε· Θεὸν γὰρ ἠγάπησας, καὶ πλησίον ἐκ ψυχῆς, δεομένοις ἐπήρκεσας, διὰ τοῦτο σε, ἐπὶ γῆς καὶ ἐν πόλῳ ἐπαξίως, ἀντεδόξασε πλουσίως, καὶ βασιλείας ἠξίωσεν.

***Ἕτερα Προσόμια τοῦ Ἁγίου. Ἦχος πλ. β'.***

***Ὅλην ἀποθέμενοι.***

Ἔνδον ἐν καρδίᾳ σου, τῶν ὑπὲρ νοῦν δωρημάτων, δεξάμενος ἔρωτα, πάντων κατεφρόνησας, ἀξιάγαστε, γαμετῆς παίδων τε, καὶ ῥεού-

σης δόξης, καὶ τὸν πλοῦτον σου ἐσκόρπισας, πτωχοῖς καὶ πένησι, τούτοις ἐπαρκῶν ἐμμελέστατα· ἐν οἷς ἀγωνισάμενος, δεύτερος Ἰὼβ ἀναδέδειξαι· ὅθεν ἐν ὑστέροις, βασίλειόν σοι δόξαν καὶ τιμήν, ὁ παντεπόπτης ἀπέδωκεν, ὡς εἶπας, Φιλάρετε.

Πλοῦτον ἀναφαίρετον, ἡ Παφλαγώνων σε πόλις, κέκτηται, Φιλάρετε, φαειναῖς αὐγάζοντα ταῖς λαμπρότησιν· ἣ καὶ νῦν βράβευσον, τὴν εἰρήνην, μάκαρ,καὶ εὐχαῖς σου πάντας, Φιλάρετε,πάσης κακώσεως, καὶ ἐπιβουλῆς τοῦ ἀλάστορος, τυχεῖν τε καταξίωσον, τῆς τῶν σωζομένων ἀοίδιμε, τοὺς σὲ ἀνυμνοῦντας, μερίδος, καὶ δικαίων τῆς χαρᾶς, πόθῳ τὴν πάνσεπτον μνήμην σου, Πάτερ, ἑορτάζουσι.

Θεόφρον Φιλάρετε, ἡδυπαθείας σαρκός σου, μαράνας τῷ πνεύματι, ἀρετῶν Μητρόπολις ἀναδέδειξαι· τὰ ἐν γῇ πάντα γάρ, ὡς οὐδὲν ἡγήσω, τῷ νοΐ ἀναπτερούμενος, πρὸς τὸ ὑπέρτατον, πάντων ἀγαθὸν καὶ ἀκρότατον· διό περ πάντα πλοῦτόν σου, τοῖς πτωχοῖς ἀφθόνως ἐσκόρπισας· ὅθεν συνελθόντες, τὴν σὴν ἐπιτελοῦμεν ἑορτήν, πρὸς τὸν Σωτῆρα καὶ Κύριον, πρέσβυν προβαλλόμενοι.

Ὄλβον τὸν οὐράνιον, πανευκλεῶς ἐκληρώσω, διὰ πλοῦτον πρόσκαιρον, ὅνπερ διεσκόρπισας ὡς σοφώτατος, νουνεχὴς ἔμπορος, καὶ τὸν μαργαρίτην, τὸν πολύτιμον ἀπείληφας, καὶ ζέσει πίστεως, καὶ ἐν οἰκτιρμοῖς καὶ δεήσεσι, καὶ πᾶσιν οἷς ἀρέσκεται,ὁ Σωτὴρ τὸν βίον διήνυσας· ὅθεν ἠξιώθης, χαρᾶς ἀνεκλαλήτου ὡς πιστός, αὐτοῦ οἰκέτης καὶ φρόνιμος, οἰκονόμος Ὅσιε.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐξέλαμψε σήμερον, τῇ Παφλαγώνων χώρᾳ, ἔαρ σωτήριον, ἡ πανέορτος πανήγυρις, τοῦ φιλοπτώχου Φιλαρέτου, πᾶσαν φιλαργυρίας νόσον, ἀφ᾽ ἡμῶν διώκουσα· δεῦτε οὖν φιλέορτοι, πνευματικοῖς ἐγκωμίοις, καὶ ἡμεῖς αὐτὸν καταστέψωμεν λέγοντες· χαίροις ὁ κατὰ πάντα μιμητὴς τοῦ ἐλεήμονος Θεοῦ, τῆς ἐλεημοσύνης ἐπώνυμε· χαίροις ὁ τὸν σὸν πλοῦτον χερσὶ πενήτων νείμας ἀφειδῶς χαίροις· τῆς οἰκουμένης προστάτης καὶ πρόμαχος, καὶ τῶν σὲ τιμώντων πρέσβυς ἀκοίμητος· αἴτησαι ὡς παριστάμενος τῷ θρόνῳ Χριστοῦ τοῦ Παντάνακτος, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν· Προεόρτιον· ὁ αὐτός.*

Σπήλαιον εὐτρεπίζου, ἡ ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν, φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς· ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε· ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός, ὅνπερ



καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις Αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης; ὁ λυτρωτής μου καὶ Θεός.

*Εἴσοδος, τὸ Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας,*

*Καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.*

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν συνέσει,ἐν πεποιθήσει δὲ αὐτοῦ ἄβυσσοι ἐῤῥάγησαν, νέφη δὲ ἐῤῥύη δρόσον· υἱὲ τήρησον ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σὴ ψυχή, καὶ χάρις ᾖ ἐπὶ σῷ τραχήλῳ· μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν· μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον σοὶ δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν, οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα· ἐλεημοσύναι καὶ πίστις μὴ ἐκλειπέτωσάν σοι, ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, γράψον αὐτὰς ἐπὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν, καὶ προνοοῦ καλὰ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· ἴσθι πεποιθὼς ἐπὶ Κύριον ἐν ὅλῃ καρδίᾳ, ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου· μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν Κύριον καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ· τίμα τὸν Κύριον ἀπὸ τῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα πιμπλῶνται τὰ ταμεῖα σου πλησμονῆς σίτου, οἱ δὲ ληνοί σου ἐκβλύζωσιν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσῃ τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἀλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐν διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιομέλα. Ἦχος α΄.

Τὸν τῆς εὐποιΐας ἐραστήν, καὶ ἀρετῆς φίλον ἄκρον, Φιλάρετον τὸν πάνσοφον, δεῦτε πιστοὶ ἀξίως εὐφημήσωμεν· οὗτος γὰρ καλῶς διαπρέψας τῷ βίῳ, ἀξίως τῷ Θεῷ εὐηρέστησεν, ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων· καὶ νῦν ἐν οὐρανοῖς μετ' ἀγγέλων χορεύει, τῷ τρισηλίῳ φωτὶ παριστάμενος, ὃν δυσωπεῖν αὐτὸν ἱκετεύσωμεν, ὑπὲρ τῶν συνωνυμούντων, καὶ πόθῳ τελούντων τὴν θείαν μνήμην αὐτοῦ.

### Ἦχος β΄.

Βίον ἐπὶ τῆς γῆς φιλάρετον ἀληθῶς, ἐπολιτεύσω, μακάριε Φιλάρετε· πᾶσαν γάρ σου τὴν ὕπαρξιν πτωχοῖς διανείμας, πτωχεύειν ἐπόθησας διὰ Κύριον, καὶ τὴν στενὴν ὁδὸν βαδίσας, τὴν ἐπάξασαν ἄνω σε πρὸς βασιλείαν οὐράνιον, τέλειος τὴν ἀρετὴν ἐδείχθης ἀοίδιμε, ὥσπερ ἔφη ὁ Κύριος, τοῦ μακαρισμοῦ ἠξιώθης· πρὸς ὃν σε κεκτήμεθα πρέσβυν, τυχεῖν θείας δόξης, τοὺς πίστει ἐκτελοῦντας τὸ σὸν μνημόσυνον.

### Ὁ αὐτός.

Ἡ Παφλαγόνων Μητρόπολις βλαστὸν εὐκλεέστατον σὲ ἐβλάστησε, καρποὺς ἐν αὐτῇ πανευώδεις ἐξανθήσαντα, ἡ Κωνσταντίνου δὲ μᾶλλον κροτεῖ σου τὰ γέρα, τὸ μακάριον τέλος ἐν αὐτῇ δόντος, ὡς Ἰακὼβ ἐπευλογῶν τοὺς παῖδας, ἑκάστῳ τὰ ἴδια προφητεύσας, καὶ τὸ σεπτόν σου σκῆνος κατέχουσα, ἐπαπολαύει τῶν σῶν μεγαλουργημάτων· προφθάνεις γὰρ παναοίδιμε πάντοτε, τῶν δεινῶν ἐκλυτρούμενος, βαρβαρικῆς ἐπιδρομῆς καὶ κακώσεως, ἄρδην ὄλεθρον, ἀπειλούσης τοῖς δούλοις σου· ὅθεν ῥύστην καὶ προστάτην θερμότατον πλουτοῦντες, Φιλάρετε, ἱκετεύομεν Χριστὸν δυσωπεῖν, τοῦ δωρήσασθαι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

ΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚ… ΤΟΡΗΣ ΠΑΠΑΣΤ…



### Δόξα. Ἦχος β΄.

Ἡ τοῦ ἐλέους πηγή, τοῖς ἐνδεέσι πλημμυρεῖ, εὐσυμπαθήτους οἰκτιρμούς, ὁ τῆς ἀρετῆς ἐραστής, Φιλάρετος ὁ τῆς ἐλεημοσύνης ἐπώνυμος· δεῦτε οἱ πτωχοὶ κατὰ πνεῦμα, μιμούμενοι αὐτοῦ τὴν ἱλαρότητα, προσδράμωμεν σήμερον, τῇ ἱερᾷ αὐτοῦ μνήμῃ. Χριστὸν γὰρ ξενίσας διὰ τῶν πενήτων, ὡς πάλαι Ἀβραάμ, τοῦ μακαριστοῦ ἠξιώθη, καὶ παρρησίᾳ πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν· ὁ αὐτός. Προεόρτιον.

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον σπήλαιον, ἐν ᾧ Θεὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

### Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α΄.

### Χαίροις ἀσκητικῶν.

Ὄντως ὑψοποιοῦ ἀρετῆς, φιλεραστὴς σὺ ἀνεδείχθης Φιλάρετε, χιτῶνα τῆς εὐποιΐας, περιβληθεὶς νουνεχῶς, ἐν τῇ τῶν πραέων νῦν γηθόμενος, ἐσκήνωσας ὅσιε, ἐν ἁγίων λαμπρότητι, τὰς παρατάξεις τῶν Ἀγγέλων θεώμενος καὶ τερπόμενος, ὅθεν σε μακαρίζοντες, ἐν πίστει σοι κράζομεν, μὴ ἐπιλάθου σῶν δούλων, ἐπιτελούντων τὴν μνήμην σου, τυχεῖν θείας δόξης, καὶ εὑρεῖν κακῶν τὴν λύσιν, καὶ μέγα ἔλεος.

### Στίχ. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

Χαίροις ὁ τῶν πεινώντων τροφεύς, τῶν δεομένων παροχεὺς ἀφθονώτατος, ἡ βρύσις τῆς συμπαθείας, ἡ τοῦ ἐλέους πηγή, καταπονουμένων ἡ ἀντίληψις, χηρῶν ὁ προστάτης, τῆς εὐποιΐας τὸ πέλαγος, γυμνητευόντων, ἀσφαλὲς περιβόλαιον, νόμος ἔμπρακτος εὐσπλαχνίας ἡ ἄβυσσος, δότης ὁ ἱλαρώτατος, ὁ πᾶσι τὰ πρόσφορα, νέμων πλουσίως παμμάκαρ, τοῖς σοὶ ἐν πίστει προστρέχουσι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

### Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Ἄνω σὺν Ἀσωμάτων χοροῖς, καὶ τῶν δικαίων, στεφηφόρος παρίστασαι, Φιλάρετε, τῷ Δεσπότῃ, δοξολογῶν τὴν αὐτοῦ θείαν δεσποτείαν παναοίδιμε· ἡμῖν δὲ ἐφίστασαι, νοητῶς τοῖς σοῖς θαύμασι, ῥύων παντοίων, συμφορῶν τε καὶ θλίψεων, τοὺς τιμῶντάς σου, τὴν ἁγίαν πα-

νήγυριν, ἥνπερ νῦν ἑορτάζοντες, αἰτοῦμέν σε, πάνσοφε, ῥῦσαι παθῶν καὶ κινδύνων, καὶ πάσης ἄλλης κακώσεως, τοὺς πίστει καὶ πόθῳ, καὶ καρδίας κατανύξει ἀνευφημοῦντάς σε.

*Δόξα. Ἦχος πλ. α'.*

Ἐξέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ εὐφρόσυνος νεομηνία, ἡ σεπτὴ πανήγυρις Φιλαρέτου τοῦ ἐλεήμονος· οὗτος γὰρ τῶν γηΐνων ἐπιλαθόμενος, πρὸς μόνον τὸ ἀκρότατον πάντων τῶν ἐφετῶν, τὸν νοῦν ἀπερείσατο· ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων αὐτὸ θεραπεύων· ὅθεν ἐν οὐρανοῖς, ὄλβον ἄσυλον ἐκτήσατο, διὰ τῆς ἑκουσίου ἐπὶ γῆς πτωχείας αὐτοῦ ἕνεκα· πατρίδα δὲ ἀσάλευτον, τὸν Παράδεισον ἀπείληφεν, καὶ αἰωνίαν ἀνάπαυσιν ἐκληρώσατο· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος, ὅτι ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ· ἀλλά, Πάτερ, αἴτησαι, λυτρωθῆναι ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, τῆς μελλούσης κατακρίσεως, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Ὁ αὐτός· Προεόρτιον.*

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν, ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρίσῃ, καὶ ὡς Θεὸν προσκυνήσῃς, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν, ταύτην ἀνυμνήσωμεν λέγοντες· χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

*Ἀπολυτίκιον. Ἦχος γ'·*

*Στύλος γέγονας.*

Πλοῦτον ἄσυλον μάκαρ, ἐκτήσω, διὰ πρόσκαιρον,ὄνπερ εἰς χεῖρας τῶν δεομένων, Φιλάρετε, ἔνειμας τὸν γὰρΘεὸν καὶ πλησίον ἠγάπησας, διὸ καὶ κλῆρον οὐράνιον εἴληφας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Εἰ βούλει, Δόξα· τὸ παρὸν Ἦχος πλ. δ'.*

Ἐν τῇ ὑπομονῇ σου ἐκτήσω τὸν μισθόν σου Πάτερ Ὅσιε· τοὺς πτωχοὺς ἀγαπήσας, καὶ τούτοις ἐπαρκέσας, ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ, Φιλάρετε ἐλεῆμον, πατὴρ ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον· δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α'. Στιχολογίαν, Καθίσματα.*

*Ἦχος γ'. Θείας πίστεως.*

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πλοῦτον ἔνειμας τοῖς δεομένοις, ὑψοποιῷ ταπεινώσει κοσμούμενος· καὶ ἀρεταῖς ταῖς παγχρύσοις κοσμούμενος· Πάτερ ὅσιε, θείων χαρίτων ἔμπλησον, τοὺς πίστει σε καὶ πόθῳ νῦν γεραίροντας·

*Δόξα. ὁ αὐτός. Τὴν ὡραιότητα.*

Πλοῦτον ἐσκόρπισας, πένησιν Ὅσιε, πτωχοῖς τὸν ἄρτον σου, νείμας, Φιλάρετε, καὶ τῶν καμάτων ἀμοιβήν, προόρασιν ἐκόμισω, ὅθεν καὶ ἀπέλαβες τὴν πλουσίαν ἀντάμειψιν, πλοῦτον καὶ βασίλειον, δόξαν ἅμα τοῖς τέκνοις σου· διό σε κατὰ χρέος τιμῶμεν, μνήμην τελοῦντες τὴν σεπτήν σου.

*Καὶ νῦν. Θεοτοκίον Προεόρτιον.*

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον, ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκί, ἐκ τῆς Παρθένου δι' ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται. Μάγοι μετὰ δώρων δέ, ὡς βασιλεῖ προσκυνήσουσι, Ποιμένες μετ' Ἀγγέλων τε δοξολογοῦσιν αὐτόν· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν, δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

***Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα. Ἦχος πλ. α'.***

*Τὸν συνάναρχον Λόγον.*

Τῷ πυρὶ τῆς ἀγάπης ὁλοκαυτούμενος· δεομένοις τὸν πλοῦτόν σου διεσκόρπισας· φιλαργυρίας φλεγμονήν, μάκαρ Φιλάρετε, ἐναποσβέσας καὶ πυρσόν, φιλοπτωχίας ἀληθοῦς, ἀνάψας δι' εὐποιΐας· διὸ τὴν θείαν σου μνήμην, ἐπιτελοῦντες σὲ μακαρίζομεν.

*Δόξα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Τὴν θείαν σου σήμερον καὶ φωταυγῆ ἑορτήν, τελοῦμεν Φιλάρετε δοξολογοῦντες Χριστόν, αἰτοῦντες πρεσβείαις σου, λύτρωσιν τῶν πταισμάτων, καὶ παθῶν καὶ κινδύνων. πάντοτε τῶν ἐν βίῳ, δυσχερῶν λυτρωθῆναι, τοὺς πόθῳ ἐκτελοῦντάς σου τὸ μνημόσυνον.

*Καὶ νῦν. Ὅμοιον Προεόρτιον.*

Ἐνθέως εὐφραίνεται ἡ κτίσις ἅπασα, Χριστὸς γὰρ ὁ Κύριος ὁ τοῦ Θεοῦ μου Υἱός, ἐκ Κόρης γεννᾶται ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων γένος ἀθανατίζων, λύων καὶ τῆς κατάρας, τῆς προμήτορος Εὔας. διὸ ὡς εὐεργέτῃ ἡμῶν, ᾆσμα προσάξωμεν.

***Μετὰ τὸν Πολυέλεον, Κάθισμα.***

*Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.*

Τριάδος τῆς σεπτῆς, οἰκητήριον ὤφθης, Φιλάρετε σοφέ, διὰ πλήθους ἐλέους, διό σε ἡ οὐράνιος, μετὰ πότμον ἐδέξατο, πανευφρόσυνος, τῶν ἐκλεκτῶν κατοικία· καὶ παρέστηκας, σὺν Ἰωάννῃ Σαμψὼν τε τῷ Θρόνῳ τοῦ Κτίστου σου.

*Δόξα τὸ αὐτό.*

*Καὶ νῦν. Θεοτοκίον Προεόρτιον.*

Ἀγάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρεπίζου, ὁ πάντων συνοχεύς, τὸν ἀστέρα προπέμψας, ἐμύνησε τὴν ἄμετρον ἑαυτοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος φιλάνθρωπος.

*Οἱ Ἀναβαθμοί. Τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. Ἦχου, καὶ*

*Τὸ Προκείμενον.*

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

*Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν...*

*Εὐαγγέλιον κατὰ Λουκᾶν.*

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

*Ὁ Ν Ψαλμός. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

*Καὶ τὸ Ἰδιόμελον, Ἦχος β'. Στίχ. Ἐλέησόν με ὁ Θεός.*

Ἐν τοῖς ἐπουρανίοις σκηνώμασι, σὺν ταῖς Ἀγγέλων χορείαις, τὸ πνεῦμα σου αἰωνίως ἀγάλλεται, Φιλάρετε Ὅσιε Πάτερ, καὶ δοξάζεται Χριστὸς ὁ δοξασθεὶς ὑπὸ σοῦ διὰ τῆς πρὸς τοὺς πένητας εὐποιΐας σου, καὶ δοξάσας τὴν μνήμην σου θεοδόξαστε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*

*Κύριε ἐλέησον ιβ'.*

*Μετὰ ταῦτα, ψάλλονται οἱ Κανόνες,*

*(Ὅρα ἔναντι σελίδα)*

ΓΥΜΝΑΣΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ...

# ΟΙ ΚΑΝΟΝΕΣ

**Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ἕξ**
**Καὶ τοῦ Ἁγίου οἱ δύο εἰς ὀκτώ.**

*Ὁ Κανὼν τῆς Θεοτόκου οὗ ἡ Ἀκροστιχίς,*

*Τῇ Παντανάσσῃ πρῶτον ἐξάδω μέλος· Μανουήλ. —*

*Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.*

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενὴς τοὺς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τείχισον τὸν νοῦν μου ἀγαθή, τῇ φωταυγεῖ πρὸς Θεὸν μεσιτείᾳ σου, ὃν ἀρρήτως τέτοκας, ἵνα πιστῶς τὰ μεγαλεῖα ὑμνήσω σου· σὺ γὰρ φῶς τοῦ κόσμου, ἀληθῶς ἀναδέδειξαι.

Πηγὴ τῶν θείων δωρεῶν, ἤδη σπάρασα φῶς πρὸς ἀπρόσιτον, τοὺς πιστοὺς τῇ χάριτι, τῇ ἑαυτῆς ἐπευλογεῖ κραυγάζοντας, ἁγνὴ φῶς τοῦ κόσμου, ὡς ἀληθῶς ἀναδέδειξαι.

Ἀναιτίως Λόγον ἐκ Πατρός, ἐξ ἀϊδίου ἁγνὴ πηγαζόμενον, ὑπὲρ φύσιν τέτοκας, εἰς σωτηρίαν τῆς βροτείου φύσεως· ὅθεν φῶς τοῦ κόσμου, ὡς ἀληθῶς ἀναδέδειξαι.

Ναὸς ὑπεράγιος σεμνή, τῆς ἀπροσίτου ἐγένου Θεότητος, χάριτας βραβεύουσα, ἀγαθοδότως τοῖς εἰς σὲ προστρέχουσι· σὺ γὰρ φῶς τοῦ κόσμου, ὡς ἀληθῶς ἀναδέδειξαι.

*Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς.*

*Ὑμνῶ σε Φιλάρετε ἐν θείοις λόγοις· Ἰακώβ.*

*Ἦχος β'. Δεῦτε λαοὶ ᾄσωμεν.*

Ὕμνοις τὴν σήν, φαεινοτάτην πανήγυριν, ἀνευφημεῖν σπεύσαντι, φῶς μοι κατάπεμψον, παρεστὼς στεφηφόρος, τῷ θρόνῳ τοῦ Δεσπότου, Πάτερ Φιλάρετε.

Μόνην ποθῶν, μάκαρ, τὴν μέλλουσαν εὔκλειαν, τὸν σὸν πλοῦτον διένειμας χαίρων τοῖς πένησι, τοῦ δεσπότου τῶν ὅλων, Φιλάρετε ὑπείκων· θείοις προστάγμασι.

Νόμῳ Θεοῦ, ὑποκλιθείς, ὦ Φιλάρετε, πρὸς ἀρετῆς ἀκρώρειαν μά-

καρ ἀνέδραμες, ἐλεήμων ἐν πᾶσι, γενόμενος, διό σε νῦν μακαρίζομεν·

*Θεοτοκίον.*

Σὺ νῦν πασῶν, θλίψεων ῥῦσαι τοὺς δούλους σου, θεογεννήτορ Δέσποινα, τοὺς ἀνυμνοῦντάς σε, καὶ πιστῶς προσκυνοῦντας, την θείαν σου εἰκόνα θεοχαρίτωτε.

*Ἕτερος Κανὼν τοῦ Ἁγίου.*

*Ἦχος α'. Χριστὸς γεννᾶται.*

Ὑμνοῦντες πόθῳ τὴν μνήμην σου, τὴν θείαν καὶ φωσφόρον, Φιλάρετε, τὴν φωτιστικὴν τοῦ πνεύματος, χάριν μοι δωρηθῆναι αἴτησαι νῦν, ἔχων παρρησίαν, πρὸς Χριστόν, ὡς ἐλεήμων παμμακάριστε.

Λαμπρὸς ὁ βίος σου, ἔνδοξε, εἰς ἅπαντα τὸν κόσμον ἐξέλαμψε, φαιδρῶς καταστίλβων, ὅσιε, θείαις σου ἀριστείαις, πλουτοποιέ, τῶν ἀπαυγασμάτων, τῶν εὐποιϊῶν σου ὦ Φιλάρετε.

*Δόξα. Τριαδικόν.*

Τριάδα πάντες δοξάσωμεν, Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι, οὐσίαν μίαν ἀμέριστον, τὴν πάσας τὰς οὐσίας θεοπρεπῶς, παναλκεῖ δυνάμει, καὶ σοφίᾳ ὑπερσόφῳ οὐσιώσασαν.

*Καὶ νῦν. Θεοτοκίον.*

Σαρκὸς φανεὶς ὁμοιώματι, ὁ Λόγος τοῦ Πατρός, παναμώμητε, ἐκ σοῦ τεχθῆναι ηὐδόκησε, πᾶσαν τὴν ἁμαρτίαν τὴν τοῦ Ἀδάμ, Μαριάμ, καὶ Εὔας, θανατώσας διὰ σοῦ θεοχαρίτωτε.

*Καταβασία. Χριστὸς γεννᾶται...*

*Ὠδὴ γ'. Ὁ Εἱρμός.*

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν τοῦ βοᾶν σοι, ἅγιος ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης φιλάνθρωπε.

Τὸ ὄρος τὸ ἅγιον σὺ εἶ, Παρθένε τὸ κατάσκιον, τοῦ γὰρ Ὑψίστου Πατρὸς ἡ δύναμις, ὑπερφυῶς σοι ἐπισκιάσασα, οὐρανὸν κατάστερον τοῦ νῦν στερεώματος, ἀσυγκρίτως ὑπέρτερον ἔδειξεν.

Ἀΰλων καὶ θείων οὐσιῶν, χορεῖαι παριστάμεναι, σοὶ μετὰ δέους



Παρθένε, ἄχραντε, οὐκ' ἐξαρκοῦσιν ὑμνεῖν ἀξίως σε, τὸ γὰρ σὸν ἀξίωμα, αὐτῶν ὁ Θεὸς ἡμῶν, ἀσυγκρίτως ὑπέρτερον ἔδειξεν.

Νεφέλη ὑπάρχεις φωτεινή, τὸ μάννα ὑετίζουσα, τὸ τῆς ζωῆς πιστοῖς καὶ ἀνίσχουσα, δικαιοσύνης σαφῶς τὸν ἥλιον· σοῦ γὰρ τὸ ἀξίωμα, Χριστὸς ὁ Θεὸς ἡμῶν, τῶν Χερουβεὶμ ὑπέρτερον ἔδειξεν.

Ἀφλέκτως ἡ βάτος τῷ πυρί, τὸ πρὶν προσομιλήσασα, τόκον τὸν πρὶν ἐδήλου Θεόνυμφε· καὶ γὰρ τὸ πλήρωμα τῆς Θεότητος, Υἱὸν ἐκύησας, ὃς σοῦ τὸ ἀξίωμα, τῶν Σεραφεὶμ ὑπέρτερον ἔδειξεν.

*Τοῦ Ἁγίου. Στερέωσον ἡμᾶς.*

Ἐλέῳ τοῦ Θεοῦ τὸ θεῖον ἔλεος, ἐκτήσω καὶ τῆς φωνῆς ἐπακοῦσαι, ἠξιώθης τῆς καλούσης σε, πρὸς Μονὰς αἰωνίους, ὦ Φιλάρετε.

Φυγὼν σὺ τὰς ὀρέξεις ἐναπέτεμες, καὶ ὤφθης, Φιλάρετε, Θεοῦ οἶκος· οὗ τῷ ἔρωτι πτερούμενος, τῆς σαρκὸς ἡδυπάθειαν ἐμάρανας.

Ἰθύνας σου σεπτῶς τὸν βίον, Ὅσιε, χορείαις Ἁγίων συνηριθμήθης, καὶ Μονὰς Ἁγίων ἔφθασας, φωτισμοῦ ἀπορρήτου ἀξιούμενος.

*Θεοτοκίον.*

Λαγόσι σου ἁγνοῖς Θεὸς ὁ ἄναρχος, σαρκοῦται ἐκ σοῦ Πανάμωμε, Κόρη, ὃν δυσώπει τὴν καρδίαν μου, μεσιτείαις ζῶσαι ταῖς σαῖς πανάμωμε.

*Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.*

Πάντα σου τὸν πλοῦτον, ἐναπέθου χερσὶ πτωχῶν πάνσοφε· καὶ ἐν πτωχείᾳ καὶ στενώσει, διανύσας τὸν βίον, σαυτόν, Πάτερ, καθηγίασας· διὸ Χριστός σοι ἠμείψατο νῦν, πλοῦτον ἀναφαίρετον.

Εἴληφας τὴν χάριν, πᾶσαν νόσον ἰᾶσθαι, Φιλάρετε, καὶ μαλακίαν ἀπελαύνειν, πρὸς Χριστοῦ τοῦ Δεσπότου· διὸ ἰάτρευσον, δέομαι, τὰ τῶν ψυχῶν καὶ σωμάτων ἡμῶν, πάθη τὰ ὀλέθρια.

*Δόξα. Τριαδικόν.*

Μίαν προσκυνοῦμεν, τρισυπόστατον φύσιν ἀμέριστον, Πατέρα Λόγον καὶ τὸ Πνεῦμα, ἀκατάληπτον ἕνα, Θεὸν ἄναρχον ἀΐδιον, ὑφ' οὗ πρὶν ἐπλάσθημεν οἱ βροτοί, ἐν ᾧ καὶ σωζόμεθα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καὶ νῦν. Θεοτοκίον.*

Ἡ ἀγεωργήτως, τὸν Θεὸν ἐκβλαστήσασα ἄρουρα, σὺ εἶ Παρθένε Θεοτόκε, προστασία καὶ σκέπη, τῶν σοὶ προστρεχόντων ἄχραντε, μὴ οὖν παρίδῃς ἡμᾶς ἐκτενῶς, αἶνον σοι προσάγοντας.

*Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.*

*Κάθισμα. Ἦχος α'. Τὸν Τάφον σου Σωτήρ.*

Κτησάμενος ψυχὴν ἐλεήμονα, Πάτερ, ἐπήρκεσας πτωχοῖς, δαψιλεῖ χορηγίᾳ, καὶ νῦν μεταβέβηκας, πρὸς τὰ ἄνω βασίλεια, τῶν καμάτων σου, τὰς ἀντιδόσεις λαμβάνων, διὰ τοῦτο σε, ἐν εὐφροσύνῃ καρδίας, τιμῶμεν Φιλάρετε.

*Δόξα· τὸ αὐτό.*

*Καὶ νῦν. Θεοτοκίον ὅμοιον.*

Ἡ μόνη τῶν πιστῶν, κραταιὰ προστασία, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον ἀπαύστως, ἱκέτευε, τὰς ψυχὰς ἡμῶν ρύσασθαι, πάσης θλίψεως καὶ συμφορῶν καὶ κινδύνων, μητροπάρθενε, ἁμαρτωλῶν προστασία, τοῦ κόσμου βοήθεια.

*Ὠδὴ δ'. Ὁ Εἱρμός.*

Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Συμβόλοις σε οἱ θεῖοι Προφῆται ἐν πνεύματι, προανεκήρυξαν σαφῶς, δοχεῖον ἔσεσθαι Θεοῦ, τοῦ Λόγου Θεόνυμφε, καὶ διὰ σοῦ οἱ ἐν σκότει θεάσονται, τὸ μέγα φῶς, θεϊκῆς ἐπιγνώσεως.

Σὲ πανυπερένδοξε Θεὸς ὁ φιλάνθρωπος, καθαρὰν ὥσπερ ἀπαρχήν, ἐκ τῶν ἀνθρώπων εἰληφώς, τὴν φύσιν ἡγίασεν ἡμῶν σαφῶς καὶ φιλανθρώπως ἐδίδαξε, τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

Ἐλπὶς καὶ στήριγμα ἡμῶν καὶ βοήθεια, τὰς ἱκεσίας τῶν πιστῶς, σὲ αἰτουμένων ἀγαθή, πρόσδεξαι καὶ πλήρωσον, πανευμενῶς τὸν νοῦν ἡμῶν συνετίζουσα, τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

*Θεοτοκίον.*

Πάντων τὸ προσφύγιον σὺ ὑπάρχεις ἄχραντε, τῶν ἐλπιζόντων ἐπὶ σέ, καὶ ἀνυμνούντων ἐκ ψυχῆς, τὴν θείαν λοχείαν σου· διηνεκῶς ἐξ ἧς



ἡμῖν ἐπεγένετο, τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

*Τοῦ Ἁγίου. Εἰσακήκοα Κύριε.*

Αἰνέσω σου τοῖς χείλεσιν, ἀκαταπαύστως, Πάτερ, τὸν Δεσπότην, ἐντρυφῶν τοῖς θείοις αὐτοῦ διδάγμασιν.

Ραθυμίαν βλεφάρων σου ἀποβαλών, ἠγρύπνησας καὶ πάσας ἡδονὰς ἐκοίμησας τὰς τοῦ σώματος.

Ἐναπέθου τὸν πλοῦτόν σου, τοῖς δεομένοις, Πάτερ, καὶ τὸν ἄρτον, ὀρφανοῖς καὶ χήραις, διὸ νῦν δεδόξασαι.

*Θεοτοκίον.*

Τὴν ψυχήν μου, Πανάχραντε, τὴν ζοφερὰν καταύγασον φωτί σου, ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

*Ἄλλος. Ράβδος ἐκ τῆς ρίζης Ἰεσσαί.*

Ρήσεις ἐντολῶν τῶν θεϊκῶν, φυλλάτων, σὺ Φιλάρετε, τοῖς δεομένοις διεσκόρπισας, τὸν πλοῦτόν σου ἀφειδῶς, καὶ πᾶσι μετέδωκας, χρυσὸν ἐπὶ τῆς γῆς οὐδόλως μάκαρ, ἐκτήσω ὡς νουνεχής, ὅλβον θησαυρίζων τὸν ἄσυλον.

Ἔφθασας Ἀγγέλων τὴν πληθύν, Φιλάρετε μακάριε, δικαιοσύνης νόμῳ ἑπόμενος, καὶ πόνων τὴν ἀμοιβήν, ἅπασαν καρπούμενος, τοὺς τῆς ἀρετῆς καρποὺς ἐδρέψω, καὶ ἐκομίσω ἐκεῖ, τῶν θείων σου πόνων τὸν στέφανον.

*Δόξα. Τριαδικόν.*

Μίαν τρισυπόστατον ἀρχήν, δοξάζω αὐτεξούσιον, παντουργικὴν καὶ ἀκατάληπτον, ἕνα Θεὸν τοῦ παντός, ἄναρχον αἰώνιον, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, πάντα τὸν κόσμον σαφῶς καὶ παντοδυνάμως ποιήσαντα.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα ἁγνὴ ἡ τοῦ παντός, Κυρία, δουλωθέντα με, ὑπὸ παθῶν καὶ περιστάσεων, ἀνάστησον ἐκ βυθοῦ, κατωτάτου δέομαι· καὶ τῷ σῷ Υἱῷ οἰκείωσόν με ἵνα κηρύττω τρανῶς, τὴν σὴν εὐσπλαγνίαν καὶ δύναμιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ...

*Καταβασία. Ράβδος ἐκ τῆς ῥίζης...*

*Ὠδὴ ε'. Ὁ Εἱρμός.*

Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας ἔμπλησον τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Ράβδος χαῖρε Ἀαρὼν ἡ ἀρρήτως ἀνθήσασα, ἄνθος θεῖον Θεοτόκε ἁγνὴ τὸ ἀείζωον, ἐξ οὗ ἀφθαρτίζονται, οἱ μετὰ πόθου προσκυνοῦντες τὸν ἀνερμήνευτον τόκον σου.

Ὤφθης πάλαι τῷ Προπάτορι, κλίμαξ οὐράνιος, δι' ἧς νόες πρὸς Θεοῦ θεωρίαν ἀνίεσαν, καὶ ἀνθυπεφέροντο, πρὸς σὸν μυστήριον καὶ ὕμνουν, τὸν ἀνερμήνευτον τόκον σου.

Τόμον θεῖον ὁ Προφήτης, σὲ εἶδεν ἐν πνεύματι, ἐν ᾧ Λόγος τοῦ Πατρὸς ὁ ὑπέρθεος γέγραπται, εἰς κόσμου ἀνάπλασιν· ἡμεῖς δὲ πίστει προσκυνοῦμεν, τὸν ἀνερμήνευτον τόκον σου.

Οὐκ ἰσχύει γλῶσσα βρότειος ὕμνον ἐπάξιον, σοὶ προσάξαι Θεοτόκε, διό μοι ἰσόρροπον, δύναμιν χορήγησον, τῇ προαιρέσει ἀνυμνῆσαι, τὸν ἀνερμήνευτον τόκον σου.

*Τοῦ Ἁγίου Ὁ τοῦ φωτὸς χορηγός.*

Ἐν συμπαθείᾳ πολλῇ, τοῖς πενομένοις πλουτισμὸς γέγονας, καὶ ἰατρὸς τῶν ἐν ἀσθενείαις, ἐγείρας προφανῶς, τούτοις ἰατρεῖον, τρισμάκαρ Φιλάρετε.

Ἐπιφωτίζων σου τὸν καθαρὸν λογισμὸν ἔλαμψας τοῦ παντουργοῦ Πνεύματος δυνάμει, ἐν ὥρᾳ τοῦ τέλους, καὶ τῶν ἐσομένων, προλέγεις τὴν ἔκβασιν.

Θείῳ σου πόθῳ Χριστέ, πυρποληθεὶς τὰς ἡδονὰς ἔφλεξεν, ὁ ἐλεήμων θεράπων σου Σῶτερ, οὗ θείαις προσευχαῖς, οἰκτείρησον, σῶσον, κἀμὲ τὸν ἀνάξιον.

*Θεοτοκίον.*

Ἰδοὺ ψυχή, φοβερόν σοι ἐπέστη τῶν ἐν τῷ βίῳ, ἔργων λογοθέσιον· τί καθεύδεις; θρήνησον μέγα, βόησον τῇ Μητρὶ τοῦ Κυρίου. Δέσποινα πρόφθασον, λῦσον τὸ πικρὸν καὶ δεινὸν λογοθέσιον.

*Ἄλλος. Θεὸς ὢν Εἰρήνης.*

Ἐλπίδος ἀγάπης καὶ πίστεως σύ, ἰδιώματα, Πάτερ, κτησάμενος, πενήτων, ἀντιλήπτωρ τε, χηρῶν προνοητής, Φιλάρετε, ἐγένου, ὀρφανῶν προμηθεύς τε, καὶ χηρῶν βοήθεια, ἀξιοθαύμαστε, πιστότατος.



Ἰδών σου τὸ πρᾶον, ὁ πάντων Θεός, ἐλεήμονα γνώμην τε, Ὅσιε, ἐδόξασεν, ἐτίμησε, στεφάνοις ἐν διπλοῖς, ἔνθα περιχορεύων, Φιλάρετε τρισμάκαρ, ὑπὲρ ἡμῶν δυσώπει, Θεῷ τῷ πάντων βασιλεύοντι.

*Δόξα. Τριαδικόν.*

Τριὰς ἐν Μονάδι, Θεὲ τοῦ παντός, ὁμοούσιε, ἄναρχε, ἄκτιστε, πταισμάτων ἡμῖν παράσχου ἀγαθέ, τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσι, καὶ μετὰ Ἁγίων σου, ὡς ἐλεήμων κατασκήνωσον.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὁ Λόγος Παρθένε, ἐκ σοῦ προελθών, ἀπορρήτως, ἀφράστως ἐπέφανε, καὶ αὖθίς σε κατέλιπεν, ἁγνὴν καὶ καθαράν, ὥσπερ ἦς πρὸ τοῦ τόκου, καὶ ἐν τόκῳ καὶ μᾶλλον, μετὰ τὸν τόκον, Δέσποινα, μένεις Παρθένε, ἀειπάρθενος.

*Καταβασία. Θεὸς ὢν εἰρήνης ..*

*Ὠδὴ ϛ'. Ὁ Εἱρμός.*

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ρυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Νοός μου τὴν πολλὴν ὄντως σκοτόμαιναν, ἀπέλασον καὶ δώρησαι, τῇ ψυχῇ μου χαρμοσύνην ἀληθῆ, ὅπως ἐν χαρᾷ, Κόρη, δοξάζω σε, σὺ γὰρ ἐλπὶς καὶ σωτηρία μου καὶ βοήθεια.

Ἐπλήγην τῇ δεινῇ τοῦ πολεμήτορος, ρομφαίᾳ καὶ νενέκρωμαι, τὰς αἰσθήσεις νῦν, Παρθένε, τῆς ψυχῆς, ἀλλ' ἡ τὴν ζωὴν τεκοῦσα ζώωσον· σὺ γὰρ ἐλπίς, καὶ σωτηρία μου καὶ βοήθεια.

Ξενίζει πάντα νοῦν τὰ ὑπεράπειρα. θαυμάσιά σου, Πάναγνε, ἃ ἐξέχεας σοῖς δούλοις δαψιλῶς, ὡς σταγόσι θᾶττον κἀμὲ ζώωσον, σὺ γὰρ ἐλπὶς καὶ σωτηρία μου καὶ βοήθεια.

Ἀνόρθωσον λαόν σου, τὸν χριστώνυμον, ἐκλελοιπότα, Δέσποινα, χαλεπῇ καταδουλώσει τῶν ἐχθρῶν, καὶ εἰς τὸ μηδὲν ἤδη ὁδεύοντα, σὺ γὰρ ἐλπίς, καὶ σωτηρία μου καὶ βοήθεια.

*Τοῦ Ἁγίου. Ἐν ἀβύσσῳ πταισμάτων.*

Ὁλοτρόπως Θεῷ ἀνακείμενος, πάνσοφε Φιλάρετε, πᾶσι διένειμας, τὰς δωρεὰς τοῖς χρήζουσι, καὶ πεινῶσι τὸν ἄρτον σου δέδωκας.

Ἱερῶς σου τὸν βίον διήνυσας, καὶ πρὸς ἀειζώους Μονὰς κατεσκήνωσας, ὡς τοῖς πτωχοῖς τὸν πλοῦτον σου, διανείμας, θεόφρον Φιλάρετε.

Σὺ τὴν νύκτα τοῦ βίου παρέδραμες, καὶ μετὰ δικαίων, τρισμάκαρ, ἐσκήνωσας, ὑπὲρ ἡμῶν δεόμενος, τῶν ἐν πίστει τελούντων τὴν μνήμην σου.

*Θεοτοκίον.*

Λογικὸς οὐρανὸς ἐχρημάτισας, τοῦ παμβασιλέως Θεοῦ παναμώμητε, καὶ καθαρὸν παλάτιον, καὶ παστὰς φωτεινὴ θείᾳ χάριτι.

*Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.*

Ὕλην δυσεχθοῦς κακίας, Φιλάρετε, ἀΰλῳ πυρὶ ἐναπετέφρωσας, καὶ τὸν πλοῦτόν σου, ἐναπέθου χερσὶ τῶν πτωχῶν νουνεχῶς, τοῦ Σωτῆρος τοῖς προστάγμασι πειθόμενος, ὥσπερ εὐσεβείας τρόφιμος, μιμητής τε τοῦ Λόγου θεόσοφος.

Νέος Ἀβραὰμ ἀνεδείχθης, Φιλάρετε, ξενίσας πτωχούς, πάντας ἐνέπλησας, ὑπαρχόντων σου, ὀρφανούς τε καὶ χήρας, μακάριε, ἀσθενούντων ἰατρός, καὶ πενομένων τροφεύς· μάκαρ, σὺ ἐγένου ὅθεν νῦν ἀπολαύεις τῶν πόνων σου δράγματα.

*Δόξα. Τριαδικόν.*

Ἔδυ σου εἰς γῆν τὸ σκῆνος, Φιλάρετε, καὶ ἐν οὐρανοῖς τὸ θεῖον πνεῦμά σου, μεταβέβηκεν, ἐκ φθορᾶς εἰς ἀθάνατον εὔκλειαν, καὶ Τριάδι τῇ ἁγίᾳ νῦν παρίστασαι, ἧπερ καὶ πρεσβεύεις πάντοτε, ὑπὲρ πάντων, τῶν πίστει τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Λάμψον ἐν ἐμοὶ τὸ φῶς τὸ ἀπρόσιτον, Παρθένε ἁγνὴ ἀειμακάριστε, καὶ πανάμωμε, μεσιτείαις σου σὸν Υἱὸν ἱκέτευσον, καὶ δυσώπησον Κόρη θεοχαρίτωτε, δοῦναί μοι τελείαν ἄφεσιν, τῶν κακῶν, οἷς αὐτὸν παρεπίκρανα.

*Καταβασία. Σπλάγχλων Ἰωνᾶν.*

*Κοντάκιον. Τῇ Ὑπερμάχῳ.*

Ὡς μιμητήν σε τοῦ Θεοῦ τοῦ ἐλεήμονος, καὶ τῶν πτωχῶν προασπιστὴν ὄντα, Φιλάρετε, ἀνυμνοῦμέν σε καὶ πόθῳ ἀνευφημοῦμεν, ἐκτε-



λοῦντές σου τὴν μνήμην καὶ βοῶμέν σοι· ἀπὸ πάσης ἐξελοῦ ἡμᾶς κακώσεως, συμπαθέστατε, τοῦ ἐλέους ἐπώνυμε.

*Ὁ Οἶκος.*

Μέγας ἐν εὐποιΐαις, θεομάκαρ, ἐδείχθης, Φιλάρετε, Κυρίου θεράπον, τοὺς πτωχοὺς ἀεὶ περιθάλπων, σώζων τε ἔνδοξε, διὸ πόθῳ πρὸς σὲ βοῶμεν.

Χαίροις Θεοῦ ποταμοῦ χαρίτων,
Χαίροις Χριστοῦ ἐνταλμάτων φύλαξ·
Χαίροις εὐποιΐας ἀρίδηλον γνώρισμα,
Χαίροις τῆς πανσόφου φρονήσεως ἔνδειξις·
Χαίροις σῶστα τῶν ἐκ πίστεως προστρεχόντων σοι θερμῶς,
Χαίροις πλοῦτος τῶν πλουτούντων σε πρὸς Θεὸν πρέσβυν θερμόν.
Χαίροις τῶν πενομένων πλουτιστὰ ἀξιάγαστε,
Χαίροις τῶν θλιβομένων παραμυθία ἀείμνηστε·
Χαίροις τῶν ἀπορούντων θησαυρὸς ἀνελλιπής,
Χαίροις τῶν πτωχευόντων βοηθὸς ἀναφανείς·
Χαίροις δωρεὰν ἐκτρέφων τοὺς ἅπαντας,
Χαίροις χαρᾶς πληρῶν τοὺς προστρέχοντας,
Χαίροις συμπαθέστατε, τοῦ ἐλέους ἐπώνυμε.

*Μὴν Δεκέμβριος. Εἰς τὴν Πρώτην*

*Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Φιλαρέτου τοῦ ἐλεήμονος*

*Στίχοι. Θνήσκεις ὁ πᾶσαν ἀρετὴν φερωνύμως*

*Πάτερ φιλήσας, τόν γε μὴν οἶκτον πλέον.*

*Πρώτῃ ἐκβιοίτοιο Δεκεμβρίου ἐλεητής.*

*Τὸ Συναξάριον τοῦ Ἁγίου.*

*Ὠδὴ ζʹ. Ὁ Εἱρμός.*

Σὲ νοητὴν Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Δάκρυα δὸς μετανοίας, Δέσποινα, τῇ παναθλίᾳ μου ψυχῇ ἵνα πλύνω τὸν τῶν παθῶν, ρύπον καὶ ἐπάξιος οἶκος Θεοῦ, θεονύμφευτε, ὑπάρξω θείας σῆς χάριτος, σὲ ἀνυμνῶν καὶ δοξάζων, τὴν μόνην πολυύ-

μνητον.

Ὡς φωτεινὸν τέμενος ὑπάρχουσαν τοῦ θείου πνεύματος, ἁγνή, ἀπαστράπτεις τὰς δωρεάς, τοῖς εἰς σὲ προστρέχουσι, κἀμοῦ τὴν διάνοιαν, τῷ σῷ ἐλέει χαρίτωσον, ἵνα πιστῶς σε δοξάζω, τὴν μόνην πολυύμνητον.

Μή με ἁγνή, παρίδῃς προστρέχοντα, τοῖς σοῖς ἀπείροις οἰκτιρμοῖς, ἡ τεκοῦσα ὡς ἀληθῶς, ἐλέους τὴν ἄβυσσον· ἀλλὰ κατοικτείρησον, ὡς συμπαθὴς καὶ ἀνόρθωσον, ὅπως ἀεί σε δοξάζω, τὴν μόνην ὑπερύμνητον.

Ἐλπὶς πιστῶν, Θεοτόκε, Δέσποινα, τῆς διανοίας τῆς ἐμῆς, τὰ κινήματα νοερῶς, πάντα σὺ ἐπίστασαι, καὶ πρὸς σὲ κατέφυγον, διὰ τὴν σὴν ἀγαθότητα, ἵνα σὺν πόθῳ ὑμνῶ σε, τὴν μόνην πολυύμνητον.

*Τοῦ Ἁγίου. Εἰκόνος χρυσῆς.*

Οὐκ ἔζης σαυτῷ, κατὰ Παῦλον τὸν σοφόν, ἐν σοὶ δὲ ἔζη ὁ Χριστός, μάκαρ, ὃν ἠγάπησας, ὃν ὁλοψύχως ἐπόθησας, ὅθεν σου τὸν πλοῦτον πεινῶσι, καὶ ἐνδεέσιν ἐσκόρπισας· εὐλογητὸς εἶ ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Γηΐνης σαυτόν, προσπαθείας ὁλικῶς ἀποχωρήσας, χρυσαυγιζούσαις ὥσπερ πτέρυξι τῆς εὐποιΐας καὶ νήψεως, πρὸς τὰς οὐρανίους σκηνώσεις, ἀναλαβὼν κατεσκήνωσας· εὐλογητὸς εἶ ἐκβοῶν ὁ τῶν Πατέρων Θεός.

Ὁ φαεινότατος λαμπτήρ, ἀρετῶν θείῳ φωτὶ λελαμπρυσμένος, ὡράθη πᾶσι καὶ κατηύγασε τῆς οἰκουμένης τὰ πέρατα· ὃν νῦν συνελθόντες ἐν πίστει, μακαρίζομεν ψάλλοντες· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ἰσχὺς τῶν πιστῶν, καὶ βοήθεια ἡμῶν Θεογεννήτορ, σπεῦσον βοήθει τοῖς ἱκέταις σου, βυθιζομένοις τοῖς πάθεσι, καὶ ταῖς τῶν δαιμόνων ἀπάταις, καὶ τρικυμίαις τῶν θλίψεων, τοῖς καταφεύγουσιν ἐν σοί, ἐν πεποιθήσει ψυχῆς.

*Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.*

Ἀνέβης εἰς ὕψος, προτιμήσας τῶν ἐνύλων καὶ ρευστῶν, Φιλάρετε, τὰ δι' αἰῶνος ἀγαθά, καὶ τὴν ἄρρευστον τερπνότητα· καὶ ἐβόας ψάλλων, δίκαιε, ὁ τῶν Πατέρων Θεὸς εὐλογητός εἶ.

Καὶ γλώσσῃ καὶ καρδίᾳ, σοὶ προσφέρω τὴν ᾠδήν, Φιλάρετε, τὴν ταπεινήν τε καὶ οἰκτράν, καὶ θερμῶς ταύτην ὑπόδεξαι· καὶ Χριστὸν ὑπὲρ ἡμῶν ἀεὶ δυσώπησον, τοῦ οἰκτειρῆσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.



*Δόξα. Τριαδικόν.*

Τὸν Δημιουργὸν πάντων τῶν ποιημάτων Θεὸν ἀνυμνήσωμεν, Πατέρα Λόγον καὶ εὐθές, Πνεῦμα ἅγιον δοξάζοντες, καὶ Τριάδα εὐσεβῶς κηρύττοντες, μίαν βασιλείαν, δεσπόζουσαν ἁπάντων.

*Θεοτοκίον.*

Φιλάγαθε Παρθένε Θεοτόκε, τὴν ψυχήν μου κεκακωμένην πάθεσι, σῶσον καὶ ἴασαι αὐτήν, μεσιτείαις εὐπροσδέκτοις σου, καὶ ἐκ πάσης ἁμαρτίας ἔκπλυνον, ἡ τον Θεὸν ἀσπόρως συλλαβοῦσα.

*Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.*

*Ὠδὴ γ'. Ὁ Εἱρμός.*

Ἐν καμίνῳ παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Λυχνία πολύφωτε χρυσῆ, Θεοῦ τῶν χαρισμάτων, ἐκπέμπουσα τὰς ἀκτῖνας, πλουσίως ἀγαθή, τοῖς πίστει καὶ πόθῳ σοι βοῶσι, χαῖρε Παρθένε τοῦ Θεοῦ Λόγου Μήτηρ, δι' ἧς ἐφωτίσθη τὸ γένος τῶν ἀνθρώπων.

Ὁ Παράδεισος ὁ μυστικὸς τῆς τρισηλίου αἴγλης, σωτήριόν τε καὶ θείαν, ἀνατέλλουσα ὀδμήν, τοῖς μέλπουσι πάντοτε ἐκ καρδίας· χαῖρε Παρθένε, τοῦ Θεοῦ Λόγου Μήτηρ, δι' ἧς ἐφωτίσθη τὸ γένος τῶν ἀνθρώπων.

Μεγαλεῖά σοι ὁ δυνατός, ἐποίησε Παρθένε, οὐσίας τῆς ἀκηράτου σε δοχεῖον ἱερόν, εἰς κόσμου ἀνάπλασιν ἀξιώσας· ὅθεν βοῶμεν, χαῖρε Θεοῦ ἡ Μήτηρ, δι' ἧς ἐφωτίσθη τὸ γένος τῶν ἀνθρώπων.

Ἀνύμφευτε Κόρη Μαριάμ, παθῶν μου τοὺς χειμάρρους τὴν ταπεινήν μου καρδίαν κατακλίζοντας δεινῶς, ἀνάστειλον θείᾳ σου ἐπινεύσει, ἵνα σοι μέλπω χαῖρε Θεοῦ ἡ Μήτηρ, δι' ἧς ἐφωτίσθη τὸ γένος τῶν ἀνθρώπων.

*Τοῦ ἁγίου. Τὸν ἐν καμίνῳ τοῦ πυρός.*

Σὺ τοῦ Κυρίου τῆς χαρᾶς, ἠξιώθης ὡς πιστὸς αὐτοῦ θεράπων· ἧς νῦν ἐπαπολαύων, συμμετασχεῖν καὶ ἡμᾶς δυσώπει, Φιλάρετε πάνσοφε, σοῦ τὴν θείαν μνήμην τελοῦντας ἐτησίως.

Ἱερωτάτην ἐσχηκώς, τὴν ζωὴν πανευκλεῶς ἐν εὐποιΐαις, προφανῶς

ἐδοξάσθης πρὸς τὸν Θεὸν μετελθών· ἰδοὺ γὰρ μένει τὸ μνημόσυνον, τὸ σὸν εἰς τοὺς αἰῶνας, καὶ ἡ δικαιοσύνη.

Ἀπὸ ψυχῆς ὁλοτελῶς, τὰ γεώδη καὶ φθαρτά, Πάτερ, μισήσας ἐλεήμων ἐγένου, πτωχοὺς ἐκτρέφων ἀεί, ἀπαύστως κράζειν γὰρ ἐπόθησας· σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Κλαύσατε ὄρη καὶ βουνοί, ἐπ' ἐμοὶ τῷ οἰκτρῷ καὶ παναθλίῳ, ὅτι ζήσας ἀσώτως ἐν περιστάσει νυνί, θανάτου μάτην κραυγάζω, ὦ Δέσποινα, μὴ κλείσῃς μοι ὦτα σου, τὰ ἄχραντα καὶ θεῖα.

*Ἄλλος. Θαύματος ὑπερφυοῦς.*

Ἤστραψεν ἡ φαεινή σου μάκαρ μνήμη, ἀπαυγάζουσα τοὺς ἐν τῷ κόσμῳ, φωτισμὸν καὶ ἔλεος, πᾶσι Χριστιανοῖς, παρρησίᾳ σου Φιλάρετε παμμάκαρ ἀεί· διὸ ἐκτελοῦντες σου τὴν μνήμην Θεὸν σέβομεν, καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὢ τῆς σῆς λαμπρᾶς εὐκλείας θεομάκαρ, ἧς ἐπέτυχες Χριστὸν πλουτήσας, διὰ πλοῦτον πρόσκαιρον, ὃν διένειμας τοῖς πτωχοῖς, καὶ τοῖς νόμοις τοῖς αὐτοῦ ἐξηκολούθησας, νοὸς στερροτάτου καθαρότητι, καὶ ψυχῆς εἰλικρινείᾳ, ὦ Φιλάρετε, διό σε τιμῶμεν ὡς φίλον τοῦ Κυρίου.

*Δόξα. Τριαδικόν.*

Ἄσμασι μελῳδικοῖς τὴν Παναγίαν, ἀνυμνήσωμεν, πιστοὶ Τριάδα, Πατέρα προάναρχον, τὸν Υἱόν τε καὶ τὸ εὐθές, Πνεῦμα Ἅγιον ὁμότιμον καὶ σύνθρονον· ἣν πᾶσα πνοὴ δοξάζει κραυγάζουσα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἄξιον ἐστὶν ἀεί σε μεγαλύνειν, ἀειπάρθενε καὶ Θεοτόκε, σὺ γὰρ Μητροπάρθενε κλέος ὤφθης μόνη τῇ γῇ, καὶ Παρθένος γὰρ καὶ Μήτηρ ἅμα πέφυκας Θεόν, ἐν σαρκὶ δὲ ἀπεκύησας, καὶ ὡς βρέφος ἐγαλούχησας τὸν τρέφοντα, πνοήν, Κόρη, πᾶσαν, διό σε εὐλογοῦμεν.

*Καταβασία. Θαύματος ὑπερφυοῦς.*

*Ὠδὴ θ'. Ὁ Εἱρμός.*

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ' ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.



Ὅλος πληγωθεὶς κατάκειμαι, ταῖς ἐπηρείαις ταῖς δειναῖς τοῦ ἀλάστορος, ἀλλ' ἡ τὴν ζωήν, τὴν ἐνυπόστατον, Δέσποινα, δεξαμένη εἰς πάντων ἀνάστασιν, ἐξέγειρον ἐν τάχει, ὅπως σὺν πόθῳ μεγαλύνω σε.

Ὕλης τῆς ρεούσης ἄχραντε, τῆς κοσμικῆς καὶ τὴν ψυχὴν ὑποσύρουσαν, εἰς βάθος κακῶν, τὸν σόν με δοῦλον ἀπάλλαξον, τῇ ἀμάχῳ καὶ θείᾳ δυνάμει σου, ὅπως ἀκαταπαύστως, καὶ ὁλοψύχως μεγαλύνω σε.

Ἦλθεν ἡμῖν φῶς τῆς γνώσεως, τῆς θεϊκῆς διὰ τοῦ τόκου σου ἄχραντε, καὶ νῦν νοερῶς, τῇ νοερᾷ κατοπτεύομεν, τοῦ Υἱοῦ σου τὰ θεῖα μυστήρια· διὸ ἀκαταπαύστως, καὶ ὁλοψύχως σε δοξάζομεν.

Λάμψον χαρμοσύνως φέγγος μοι, διὰ πολὺ τῆς εὐσπλαχνίας σου πέλαγος, ἡ τῶν Προπατόρων τὴν κατήφειαν λύσασα, καὶ χαρὰν ἀντὶ λύπης εἰσάξασα, ὅπως ἀκαταπαύστως, καὶ ὁλοψύχως μεγαλύνω σε.

*Τοῦ Ἁγίου. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.*

Ὡς φωταυγής σου ὁ βίος, ὡς μεγίστη ἡ δόξα, ὡς πάντιμος ἡ μνήμη σου σοφέ, παντελεῆμον Φιλάρετε, ἐλεεῖς γὰρ τοὺς πάντας, καὶ ζῶν τε καὶ θανὼν ὡς ἀληθῶς, ἰαμάτων τὴν χάριν, παρέχων τοῖς τιμῶσι σε.

Βλύζει ὁ τάφος σου Πάτερ, ἰαμάτων σταγόνας, βραβεύει τοῖς φοιτῶσιν εὐλαβῶς, πᾶσι τὴν χάριν Φιλάρετε, καὶ νοσήματα παύει, καὶ πάντων ἁγιάζει τὰς ψυχάς, τῶν τὴν θείαν σου μνήμην, ἑορταζόντων Ἅγιε.

Ὄντως ἀστράπτων ἀκτῖνας, τοῖς τιμῶσι σε, Πάτερ Φιλάρετε καταύγασον ἡμῶν, τὰ τῆς ψυχῆς αἰσθητήρια, καὶ λαμπρότητος θείας, μετόχους καταξίωσον ἡμᾶς, ταῖς πρεσβείαις σου, μάκαρ, γενέσθαι δυσωποῦμέν σε.

*Θεοτοκίον.*

Σὺ εἶ τὸ καύχημα Κόρη, τῆς ἀθλίας ψυχῆς μου, σὺ εἶ ὁ γλυκασμὸς καὶ φωτισμός, σὺ τὸ ἐμὸν ἀγαλλίαμα, σὺ καρδίας ἡδύτης, σὺ φῶς καὶ θυμηδία καὶ ζωή, σὺ παράκλησις θεία, χαρὰ καὶ ἀγαλλίασις·

*Ἄλλος Μυστήριον ξένον.*

Ὁλόφωτον αἴγλην λαβὼν καὶ ἀθάνατον, ἐκ Θεοῦ, Φιλάρετε, ἀπεφάνθης ζῶν, καὶ μετὰ τέλος ἐλέους ὑπουργός, ἐν ᾧ ὑπὲρ πάντων ἱκέτευσον Θεόν, ὑπὲρ ἡμῶν τῶν ἐπὶ γῆς μακαριζόντων σε.

Θρόνῳ Θεοῦ παρεστηκὼς νῦν, Φιλάρετε, σὺν θείοις στρατεύμασι, πάντων τῶν Ἁγίων Ἀγγέλων, μὴ παύσῃ πρεσβεύων ἀεί, τὸν φιλάνθρωπον καὶ Κύριον Θεόν, ὑπὲρ πάντων τῶν πιστῶς μακαριζόντων σε.

*Δόξα. Τριαδικόν.*

Δοξάζομεν τὸν ἐν τρισὶν ὑποστάσεσι Θεὸν προαιώνιον, τοῦτον Χερουβικῶς ἀνυμνοῦντες ὡς ἰσχύομεν, χοϊκοῖς οἱ ἀνάξιοι τοῖς χείλεσι, καὶ πόθῳ αὐτόν, ἀκαταπαύστως μεγαλύνομεν.

*Θεοτοκίον.*

Ὑμνοῦμεν σε εὐλογημένη πανύμνητε, ἣν ὑμνοῦσιν Ἄγγελοι καὶ Θεοφόροι Πατέρες, καὶ πᾶσα κτίσις, Θεὸν ὑπεράγιον ὡς τέξασαν σαρκί, ὃν δυσώπει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καταβασία. Μυστήριον ξένον.*

*Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ Ἱερῷ.*

Ἐν ἀρετῇ διατραφείς, καὶ πολλῇ εὐποιΐᾳ, σημειοφόρος γέγονας, καὶ προγνώστης μελλόντων, Φιλάρετε ἐλεῆμον, ὡς Θεοῦ πιστὸς δοῦλος, ᾧ καὶ πρεσβεύεις θεόφρον, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν ἐκ πόθου τὴν σεπτήν, θείαν σου μνήμην τελούντων.

*Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Μεταδιδοὺς τὸν σὸν πλοῦτον, τοῖς πένησι θεαρέστως, καὶ νῦν οὐράνιον ὄλβον, παρὰ Χριστοῦ ἐκομίσω· Φιλάρετε, ὃν δυσώπει, καὶ νῦν ἡμᾶς ἐλεῆσαι.

*Θεοτοκίον ὅμοιον.*

Τὰς στρατιὰς τῶν Ἀγγέλων, καὶ τῶν Ἁγίων τοὺς χορούς, ὑπερανέστειλεν ὄντως, τὰ μεγαλεῖά σου ἁγνή, διὸ Χριστὸν ἐκδυσώπει, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων.

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν*

*Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.*

*Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Μάκαρ θεόφρων Φιλάρετε, τῆς ἀρετῆς ἐραστής, γεγονὼς ὤφθης ἅπασι, δωρεῶν τοῦ Πνεύματος, διανέμων τοῖς χρῄζουσι τοῖς ἐνδεέσιν, ἄρτον σου δέδωκας, πάντας ἠλέεις, ὡς συμπαθέστατος· ὅθεν τελοῦμέν σου, ἐν ᾠδαῖς νῦν χαίροντες, πανευλαβῶς, τὴν ἡμᾶς εὐφραίνουσαν, μνήμην πανόλβιε.

Ἔλεον θεῖον ἀρύσασθε, ὡς ἐκ πηγῆς προϊόν, Φιλαρέτου τοῦ μάκαρος, τοῦ καὶ ἐλεήμονος, φερωνύμως πλουτήσαντες καὶ τῷ τῶν ὅλων Θεῷ βοήσατε· ὁ ἐν Ἁγίοις θαυμαζόμενος, τούτου δεήσεσι, σῶσον ἡμᾶς Κύριε ὡς ἀγαθός, πόθῳ ἑορτάζοντας, τὴν θείαν μνήμην αὐτοῦ.

Ἅπαν φιλεόρτων σύστημα, ἄνθη ἐπαίνων θερμῶς, ἐκ λειμώνων συλλέξαντες, τοῦ Ἁγίου Πνεύματος ᾀσματόπνοον στέφανον, τῷ Φιλαρέτῳ καὶ ἐλεήμονι, μετ' εὐφροσύνης ἀφοσιώσωμεν· ὦ συμπαθέστατε, πρὸς αὐτὸν κραυγάζοντες, πρὸς τὸν Χριστόν, πάντοτε ἱκέτευε, εἰς τὸ σωθῆναι ἡμᾶς.

Δεῦτε γηγενεῖς ἐν ᾄσμασι, τὴν ἱερὰν καὶ σεπτήν, Φιλαρέτου τοῦ μάκαρος, ἑορτὴν τὴν εὔσημον, εὐσεβῶς ἀνυμνήσωμεν· οὗτος γὰρ ὄντως θείας ἐλλάμψεως, κατηξιώθη διὰ τὸ ἔλεος, ὅπερ ἐπλούτησε, καὶ πτωχοῖς μετέδωκεν οἷα πιστός, οἰκονόμος οὗπερ νῦν, τὴν μνήμην ἄγωμεν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ, λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει τῶν φιλεόρτων τὰ συστήματα ἐπὶ τῇ μνήμῃ Φιλαρέτου τοῦ ἐλεήμονος· καὶ δοξάζει Χριστόν, τὸν δι' αὐτοῦ δοξασθέντα· οὗτος γὰρ ὁ ἀείμνηστος, ἀφειδῶς τὸν πλοῦτον αὐτοῦ, χερσὶ πενήτων διένειμε, πτωχοῖς καὶ ἐνδεέσιν ἐπήρκεσεν· διὸ ἐδέξατο αὐτόν, ἡ οὐράνιος κληρουχία, πρὸς πλατυσμὸν τοῦ Παραδείσου ἀγαλλόμενος, καὶ τῆς τελείας ἐν οὐρανοῖς, τῶν ἀγαθῶν ἀπολαύσεως· ἧς καὶ ἡμᾶς ἀξίωσον ὁ Θεός, εὐχαῖς αὐτοῦ, διὰ τὸ μέγα σου καὶ πλούσιον ἔλεος.

***Καὶ νῦν. Ὁ αὐτός· Προεόρτιον.***

Ὑπόδεξαι Βηθλεὲμ τὴν τοῦ Θεοῦ Μητρόπολιν, φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς, Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε· Ποιμένες ἀγραυλοῦντες, τὸν Τρσάγιον ὕμνον μελωδήσατε, πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΤΟΥ

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ τυπικά. Οἱ Μακαρισμοί, καὶ ἐκ μὲν τοῦ α'.*

*Κανόνος ἡ γ'. Ὠδή, ἐκ δὲ τοῦ β'. ἡ στ'.*

*Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.*

Ἐλέῳ τοῦ Θεοῦ τὸ θεῖον ἔλεος, ἐκτήσω καὶ τῆς φωνῆς ἐπακοῦσαι, ἠξιώθης τῆς καλούσης σε, πρὸς Μονὰς οὐρανίους, ὦ Φιλάρετε.

Φυγὼν σὺ τὰς ὀρέξεις ἐναπέτεμες, καὶ ὤφθης Φιλάρετε Θεοῦ οἶκος, οὗ τῷ ἔρωτι πτερούμενος, τῆς σαρκὸς ἡδυπάθειαν ἐμάρανας.

Ἰθύνας σου σεπτῶς τὸν βίον, ὅσιε, χορείαις Ἁγίων συνηριθμήθης, καὶ Μονὰς Ἁγίων ἔφθασας, φωτισμοῦ ἀπορρήτου ἀξιούμενος.

*Θεοτοκίον.*

Λαγόσι σου ἁγνοῖς Θεὸς ὁ ἄναρχος, σαρκοῦται ἐκ σοῦ Πανάμωμε Κόρη, ὃν δυσώπει τὴν καρδίαν μου, μεσιτείαις ζῶσαι ταῖς σαῖς, Πανάμωμε.

*Ὠδὴ στ'. Σπλάχνων Ἰωνᾶν.*

Ὕλην δυσεχθοῦς κακίας, Φιλάρετε, ἀΰλῳ πυρὶ ἐναπετέφρωσας, καὶ τὸν πλοῦτόν σου, ἐναπέθου χερσὶ τῶν πτωχῶν νουνεχῶς, τοῦ Σωτῆρος τοῖς προστάγμασι πειθόμενος, ὥσπερ εὐσεβείας τρόφιμος, μιμητής τε τοῦ Λόγου θεόσοφος.

Νέος Ἀβραὰμ ἐδείχθης, Φιλάρετε, ξενίσας πτωχούς, πάντας ἐνέπλησας, ὑπαρχόντων σου, ὀρφανούς τε καὶ χήρας, μακάριε, ἀσθενούντων ἰατρός, καὶ πενομένων τροφεύς, μάκαρ σὺ ἐγένου ὅθεν νῦν, ἀπολαύεις τῶν πόνων σου δράγματα.

*Δόξα. Τριαδικόν.*

Ἔδυ σου εἰς γῆν τὸ σκῆνος, Φιλάρετε, καὶ ἐν οὐρανοῖς τὸ θεῖον πνεῦμα σου, μετεβέβηκεν, ἐκ φθορᾶς εἰς ἀθάνατον εὔκλειαν, καὶ Τριάδι τῇ Ἁγίᾳ νῦν παρίστασαι, ἧπερ καὶ πρεσβεύεις πάντοτε, ὑπὲρ πάντων τῶν πίστει τιμώντων σε.

***Καὶ νῦν. Θεοτοκίον.***

Λάμψον ἐν ἐμοὶ τὸ φῶς τὸ ἀπρόσιτον, Παρθένε ἁγνὴ ἀειμακάρι-

στε, καὶ πανάμωμε, μεσιτείαις σου σὸν Υἱὸν ἱκέτευσον, καὶ δυσώπησον αὐτὸν θεοχαρίτωτε, δοῦναί μοι τελείαν ἄφεσιν, τῶν κακῶν, οἷς αὐτὸν παρεπίκρανα.

*Ὁ Ἀπόστολος*

Ἀδελφοί, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει......

*(Ἰωάννου τοῦ Ἐλεήμονος)*

*Ζήτει αὐτὸν ἐν τῇ ΙΗ'. Κυριακῇ.*

*Εὐαγγέλιον.*

Εἶπεν ὁ Κύριος, μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ δοῦναι ἡμῖν τὴν βασιλείαν, πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην.

*(Ζήτει Τοῦ Ἁγίου Σαμψὼν τοῦ ξενοδόχου καὶ εἰς Ἰανουαρίου ιδ'. τῶν Ἁγίων Ἀββάδων)*

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.*

*Μεγαλυνάριον.*

Ἀρετῆς ὁ φίλος καὶ τῶν πτωχῶν, ἐλεημοσύνης ὁ ἐπώνυμος προσκληθείς, ὁ πενήτων, θρέψας, πληθὺν ἀνεφημείσθω, Φιλάρετος ὁ θεῖος καὶ συμπαθέστατος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ